ἀλλ᾽, ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις.
ΑΥ. τί φασίν; ἁνὴρ ἔστι καὶ λεύσσει φάος;
ΗΛ. ἔστιν λόγῳ γοῦν· φασὶ δ᾽ οὐκ ἄπιστ᾽ ἐμοί.
ΑΥ. ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν;
ΗΛ. ἐν ἐλπίσιν ταῦτ᾽· ἀσθενὴς φεύγων ἀνήρ.
ΑΥ. ἦλθον δ᾽ Ὀρέστου τίν᾽ ἀγορεύοντες λόγον;
ΗΛ. σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν.
ΑΥ. οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις.
ΗΛ. ἴσασιν, οὐδὲν τῶνδ᾽ ἔχουσιν ἐνδεές.
ΑΥ. οὐκοῦν πάλαι χρῆν τοῖσδ᾽ ἀνεπτύχθαι πύλας.
χωρεῖτ᾽ ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγων
ξενίων κυρήσεθ᾽, οἷ᾽ ἐμὸς κεύθει δόμος.
αἴρεσθ᾽, ὀπαδοί, τῶνδ᾽ ἔσω τεύχη δόμων·
καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
οὔτοι τό γ᾽ ἦθος δυσγενὲς παρέξομαι.
ΟΡ. πρὸς θεῶν, ὅδ᾽ ἁνὴρ ὃς συνεκκλέπτει γάμους
τοὺς σούς, Ὀρέστην οὐ καταισχύνειν θέλων;
ΗΛ. οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.
ΟΡ. φεῦ·
οὐκ ἔστ᾽ ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ᾽ ἐκ κακῶν τέκνα,
λιμόν τ᾽ ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην δὲ μεγάλην ἐν πένητι σώματι.
πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτῳ; πονηρῷ γ᾽ ἆρα χρήσεται κριτῇ.
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ᾽ ἔχει νόσον
πενία, διδάσκει δ᾽ ἄνδρα τῇ χρείᾳ κακόν.
ἀλλ᾽ εἰς ὅπλ᾽ ἐλθών; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ᾽ ἂν ὅστις ἐστὶν ἁγαθός;
κράτιστον εἰκῇ ταῦτ᾽ ἐᾶν ἀφειμένα.

349. ἀνήρ codex. 363. δυσγενές] Canterus, δυσμενές codex. 364. ἀνήρ codex. 370. δ᾽ Stobaeus et Orion, τ᾽ codex. 372. δέ] Seidlerus, τε codex. 373. κρινεῖ] Victorius, κρίνῃ codex. 377. ἐλθών] ἔλθω codex.